UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ekklēsiastēs Solomōntos Emmetrōs Metaphrastheis

**Dolscius, Paul**

**Lipsiæ, 1559**

**VD16 B 3639**

Κεφα. ς.

urn:nbn:de:hbz:466:1-69711

Visual Library

εἴ τινι εὐμενέτης ὁ θεὸς μέγαν ὄλβον ὀπάζῃ,
    καὶ χρῆσθ' οἱ δοίη τῷδ', ἐνὶ φρεσὶ κέαρ.
πίνειν ἄρ καὶ σῖτον ἔδειν μενοεικέα πεπνυῶς,
    κἂν μόχθοις αἰεὶν καὶ πολυγηθὲς ἔχειν.
τοίην κεν φαίης τῷ πλούτου χρῆσιν ἀληθῆ,
    ἠδὲ θεοῖο δόσιν πάντα κρατοῦνθ' ἔμεν.
ἥντιν' ἐνὶ φρεσὶν ᾗσιν ἔχων, θεόθεν τε λελογχὼς
    οὐκέτι μνῆσιν ἔχει τῶν βιότοιο κακῶν,
οὕνεκα νηπενθὲς καὶ ἄλυπον οἱ ἀστεροπήκτης
    αὐτὸς ἀπ' οὐρανόθεν καὶ ἐνέικε θεός

## ΚΕΦΑ. ς.

Μυρία δ' αὖθις ὁρῶντ' ἀνὰ γαῖαν λυγρ' ἀλάλησθαι,
    τοῦτο δ' ὀάσατ' ἐμοὶ οὐκ ἐλάχιστον ἔμεν.
ὅττι γ' ἀμαλθείας τὸ κέρας τινὰς οἴκοι ἔχοντας,
    πασσαμένους ἄνδρας χρήματ' ἀθέσφατ' ἴδον.
καὶ δόξῃ περικυδαλίμους, καὶ πάντα λαχόντας
    ὧν κέ τις ἱμείρῃ ἐν φρεσὶν ᾗσι βροτός.
ἀλλ' οὐκ εἰδήας αὐτοῖς ἐδεδώκει χρῆσθαι,
    ὄλβῳ, ἅμα πραπίδας, τοσσατίως γε θεός.
τοὔνεκεν ἐκδαπανᾶν τῶνδ' οὐκ ἐδώαντ' ὀλίγον περ,
    ἀλλὰ διατρίβειν πάνθ' ἑτέροισι λίπον.
ἠλίθιον μὲν τοῦτο πέλει, πολλοῖς δὲ σύνηθες,
    φρεσί τ' ἐναυκότατον ταῖς βροτέῃσι πάθος.
ἢν ἑκατόν τις ἔχῃ τέκν' ἐν μεγάροισι φυτεύσας,
    καὶ νήριθμ' ἀποθῆ χρήματα τοῖσδ' ἐφέρειν:
ζῇ δέ τε μακραίων πομέας βίον εἰς τ' ἐνιαυτούς,
    οὐ μεταδοὺς ψυχῇ χάρματος, ἐκτανέῃ.

μηθ' ὅσ' ἔοικε λάχῃ κτέρε', οἰκιακοῖς ἀμεληθείς,
(συμβαίνει ἀφνειοῖς οἷά γε πολλὰ φιλεῖ)
οὐχί κεν ἄψυχόν τι προτιμήσειας ἐκείνου
ἔκτρωμ', ἧς μήτρας ἄμματ' ἀωρὶ ῥαγόν;
κᾆν γὰρ ἐπιπνείῃ πολυήρατον οὐδ' ἔπιτ' αἶαν,
οὔτε φοραυγὲς ἴδῃ ἠελίοιο φόως·
νώνυμον οἰχόμενον καθάπερ καὶ ἀνώνυμον ἦλθε,
ἐκ σκότεόσε μόλῃ εἰς σκότος αὖτε μέλαν·
ξυμπάσης ἔμπης κακότητος ἐλεύθερόν ἐστι,
ἧς ὕπερ ξύχετ' ἀνὴρ καὶ φιλόπλουτος ἐών.
τίπτε δ' ὁ χιλιάδας δύ' ἐνιπλήσας ἐνιαυτῶν
οὔτ' ἀγαθόν τι παθὼν, οὔ κεν ὄναιτο βίου;
οὐχὶ καὶ ἡλικίῃ τόσ' ἔπι προβεβῶσά περ, οὖρον
ἴσχει, ἐόντε μένει κεῖθ' ἅπαντα τέλος;
ἔστι μὲν ἀνθρώπους πάντας κατὰ μοῖραν ἀνάγκη
μοχθεῖν, ἔμμορ' ὅσοι σώματ' ἔχουσι πνοῆς·
αὐτὸ δέ οἱ βρότεον μόχθους κέαρ αἰὲν ὀφέλλει,
ταῖς ἐπιθυμιέων μαργοσύνῃσιν ἑῶν.
ἦρα δ' ἀϊφροσύνῃ προέχων τις ἂν οἷς καμάτοισι
τοῦ ἀφραίνοντος πλείονα μοῖραν ἔχῃ;
καὶ τί ἀνὴρ πενίῃ δ' ἐδμημένος ὡς πολύολβος.
μαίετ' ἄγειν λαμπρὸν πουλυτελῆ τε βίον;
λώϊον οὖν τῶν δ' ἦρι χαρίζεσθαι προεόντων,
τῷ πεφυρέμεναι ἀλλ' ἐνὶ φρεσὶ μάτην.
τέρπεο τοῖς παρεοῦσι, θεοῦ δῶρ' ἔμμεναι εἰδώς,
καὶ οἱ ἔτ' ἐσσομένων μούνῳ ἐπίτρεφ' ἅπαν.
κεῖνος ὅσ' οὐρανόθεν προΐηλε δοτῆρσι ἐάων
οὐκ ἀπέχειν σφείων σοὶ, μετέχειν δὲ, δίδοι.
αἰὲν δὲ πλεόνων ἐπιθυμεῖν σφόδρ' ἀνιηρὸν,
οὔτ' ἂν παύσειεν τόνδε κόρος τις ἔρον.

οὐχὶ

οὐχὶ τὸ μέλλον ἔμμεν, τό περ οὔπω ὄν, οὐνόματ' ἦεν,
πρὶν τῷ γεννᾶσθαι, κτίστορι γνωστὸν ἐών;
καὶ ὅτι τόδ' εἴθ' ἑκὸν εἴτ' ἀέκον περὶ σάρκα βροτείην,
ἤμελλ' εἰσδύνειν, θνητὸς ἔμεν τε βροτός;
οὐκ ἔστι δ' ἀντέμεναι σθένον, εἰ μὴ ἑτώσια, κείνῳ,
εἴδεος ὅττ' οὐ τοῖον δῶκεν, ἢ ἄλλο ἑοῖ.
νήπιος οὖν πᾶσις πρὸς κρείττον' ἔθ' ἀντιφερίζων
τὸν θεόν, ἀφραδίης κῆρ τ' ἐνίπλειος ἀνήρ.
ὅσσα βροτοῖς δὲ διδοῖ θεὸς ἢ τέρπειν ἠὲ καὶ οὐχί,
εὖ θέσθ', ἀνθρώπου καὶ σοφοῦ ἔργον ἔῃ.

## ΚΕΦΑ. ζ.

Τίς δὲ σάφ' οἶδε βροτῶν σωτήριον ὅ, ττι κεν εἴη
τῇδ', ὡς ἐν γαίῃ περ φυγὰδ' ἀλλοτρίῃ;
ὡς χρόνου εἰν ἀκαρεῖ γάρ τις σκιὴ οἴχετ' ἄοπτος:
ὡς ἄφαρ ὁ βρότεος γίνεται οὔτι βίος.
τίς δ' ἂν φαίη ἀνὴρ εὖ εἰδὼς μαντοσυνάων περ,
μέλλοντ' ἐν κόσμῳ αὐτοῦ ὄπισθεν ἔμεν;
καὶ ὅ, ττι κεν ἢ κακὸν ἢ ἀγαθὸν μαλακαί περ ἐς ὧραι
μέλλωσ' ἀνθρώποις ὠκυμόροισι φέρειν.
τῶν οὖν ἐσσομένων ἀμελὴς κλέος ἐσθλὸν ἀείρειν
σπεῦδε. σ' ὑπὲρ γαίην ὄφρα μέτεστι βίου.
πολλῷ εὐκλείης λαχέειν γὰρ φέρτερόν ἐστι,
ἢ μύρον εὐῶδες, καὶ πολύτιμον ἔχειν.
κρεῖττον τ' ἐν βιότοιο τέλει τὸ πανύστατον ἦμαρ,
ἠὲ τὸ πρώτιστον τῆς γενέθλης πέρ ἐόν.
καὶ τοῖς μυρομένοις πολὺ λώϊόν ἐστιν ὁμιλεῖν,
ἢ τοῖς ἐν λέχαις ἡδὺ πίουσι μέθυ.